ἀλλὰ καὶ ξένοι εἴπωσίν μοι, οὐκ ἂν πιστεύσω ἄνευ ἀποδείξεως· διδασκόμεθα τοίνυν ἐντεῦθεν μὴ ἁπλῶς πείθεσθαι ἄνευ ἀποδείξεως, κἂν βασιλεύς, κἂν στρατηγός, κἂν ἄλλος τις τῶν ἐν μείζοσιν ἀξιωμάτων εἴη ὁ μαρτυρῶν. δεῖ τοίνυν μὴ τοῖς 2
πολλοῖς πιστεύειν· οὕτω γὰρ εἰ πιστεύσοιμεν τοῖς πολλοῖς, ἐσόμεθα καὶ ἡμεῖς πρεσβεύοντες, ὅτι ὁ ἥλιος ποδιαῖός ἐστι καὶ μὴν πολλῷ μείζων ἐστὶ τῆς γῆς· ὥστε οὐ δεῖ ἐκείνοις πιστεύειν ἀλλὰ ταῖς τῶν ἀστρονόμων ἀποδείξεσιν· ὅτι γὰρ ἀληθεῖς εἰσιν αἱ αὐτῶν ἀποδείξεις, φανερὸν ἐκ τοῦ προλέγειν τὰς ἐκλείψεις καὶ μὴ σφάλλεσθαι, ἀλλὰ πάντως ἐκβαίνειν. οὐ χρὴ οὖν ὀφθαλμοῖς ἀλόγοις πιστεύειν ἀλλ' ὄμματι ψυχῆς ἀκριβεῖ τε καὶ ἐπιστήμονι· οὐ μόνον δὲ δείκνυσιν ὁ Σωκράτης, ὅτι ὁ ἄδικος ἄθλιος καὶ κακοδαίμων ἐστίν, ἀλλ' ὅτι καὶ εἰ ὦσιν δύο τύραννοι, ὧν ὁ μὲν ἀεὶ ἀδικεῖ ἁρπάζων χρήματα ἀποκτειννύς, οὐδέποτε δὲ ἀδικεῖται, ὁ δὲ ἕτερος καὶ ἀδικήσας καὶ ἀδικηθῇ καὶ ἴδοι φονευόμενα μὲν τὰ ἑαυτοῦ τέκνα, σφαττομένην δὲ τὴν ἑαυτοῦ γυναῖκα καὶ πάντα τὰ αὑτοῦ ἁρπαζόμενα, ὁ τύραννος ὁ καὶ πάσχων ἧττον ἀθλιώτερός ἐστι τοῦ μόνως ἀδικοῦντος· καὶ ὥσπερ ὁ μαινόμενος μὲν συνδεδεμένος δὲ καὶ μὴ δυνάμενος ἄτοπόν τι διαπράξασθαι ἧττον ἄθλιός ἐστι τοῦ μαινομένου μὲν μὴ συνδεδεμένου δὲ ἀλλὰ πράττοντος βλαβερά τινα. δεῖ οὖν προσέχειν τοῖς παρέχουσι δίκας καὶ τοῖς οὔ· ἐπεὶ πάσχουσιν ἐκεῖνοι, ὃ πάσχουσιν οἱ λελωβημένον τινὰ ἐπὶ κλίνης χρυσῆς ὁρῶντες καὶ ἠμφιεσμένον ἐσθῆτα σηρικὴν ἢ γ' οὖν ἄλλην τινὰ πολυτελῆ· ὥσπερ γὰρ ἐκεῖνον διὰ τὸ κεκρύφθαι τὸ πάθος ὑπὸ τῆς περιβολῆς τοῦ ἔξωθεν κόσμου, οἰόμεθα μέγαν τινὰ καὶ ἀλώβητον εἶναι, οὕτως νομίζουσί τινες καὶ τὸν τυραννοῦντα εὐδαίμονα εἶναι μὴ δυνάμενοι θεωρῆσαι τὸ τῆς ψυχῆς πάθος, ὥστε καὶ τοῦ ἀδικοῦντος καὶ τοῦ πάσχοντος τυράννου ἀθλίων ὄντων μᾶλλον ἄθλιός ἐστιν ὁ ἀδικῶν, ἧττον δὲ ὁ πάσχων. ἐπειδὴ ὁ μὲν ἀεὶ ποιῶν ἐν τῷ παρὰ φύσιν ἐστίν, ὁ δὲ πάσχων ἰατρεύεται· ἰατρευόμενος δὲ ἧττον ἄθλιος, καὶ εἰ ἰατρεύεται, πῶς ἄθλιος;

---

33 mg. ἀπορία.

---

15 ἀποκτειννύς] -ει- in corr. M 25 σηρικὴν scripsi σειρικὴν M



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/105 UNIVERSITÄT LEIPZIG